The purpose of this apparatus is to show all variation within **Family 35**, as identified by a complete collation of the following thirty-nine representative MSS—18, 35, 149, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1248, 1249, 1250, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2466, 2554, 2587 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined. 18, 824, 928, 1855, 1864 and 2723 have no variants.

# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α[1]

## [Opening considerations]

*[Greeting]*

**1**.1 Παυλος και Σιλουανος και Τιμοθεος τη εκκλησια Θεσσαλονικεων[2] εν Θεω Πατρι και Κυριω
Ιησου Χριστω: Χαρις ὑμιν και ειρηνη απο Θεου Πατρος ἡμων και Κυριου Ιησου Χριστου.

*[The Thessalonians are praised]*

2 Ευχαριστουμεν τω Θεω παντοτε περι παντων ὑμων, μνειαν ὑμων ποιουμενοι επι των
προσευχων ἡμων, 3 αδιαλειπτως μνημονευοντες ὑμων του εργου της πιστεως και του κοπου της
αγαπης και της ὑπομονης της ελπιδος, του Κυριου ἡμων Ιησου Χριστου, εμπροσθεν του Θεου και
Πατρος ἡμων, 4 ειδοτες, αδελφοι ηγαπημενοι ὑπο[3] Θεου, την εκλογην ὑμων.

[They became examples]

5 Ὁτι το ευαγγελιον ἡμων ουκ εγενηθη εις ὑμας εν λογω μονον, αλλα και εν δυναμει και
εν Πνευματι Ἁγιω και εν πληροφορια πολλη (καθως οιδατε οἱοι εγενηθημεν εν ὑμιν δι' ὑμας).
6 Και ὑμεις μιμηται ἡμων εγενηθητε και του Κυριου, δεξαμενοι τον λογον εν θλιψει πολλη μετα
χαρας Πνευματος Ἁγιου, 7 ὡστε γενεσθαι ὑμας τυπους πασιν τοις πιστευουσιν εν τη Μακεδονια
και[4] Αχαια. 8 Αφ' ὑμων γαρ εξηχηται ὁ λογος του Κυριου, ου μονον εν τη Μακεδονια και εν τη[5]
Αχαια αλλα και εν παντι τοπω—ἡ πιστις ὑμων ἡ προς τον Θεον εξεληλυθεν, ὡστε μη χρειαν ἡμας
εχειν[6] λαλειν τι.

[Their hope]

9 Αυτοι γαρ περι ὑμων[7] απαγγελλουσιν[8] ὁποιαν εισοδον εσχομεν προς ὑμας, και πως
επεστρεψατε[9] προς τον Θεον απο των ειδωλων δουλευειν Θεω ζωντι και αληθινω, 10 και
αναμενειν τον Υἱον αυτου εκ των ουρανων (ὃν ηγειρεν εκ των νεκρων)—Ιησουν, τον ῥυομενον
ἡμας απο της οργης της ερχομενης.

## [Paul's ministry in Thessalonica]

**2**.1 Αυτοι γαρ οιδατε, αδελφοι, την εισοδον ἡμων την προς ὑμας ὁτι ου κενη γεγονεν. 2 Αλλα,
προπαθοντες και ὑβρισθεντες, καθως οιδατε, εν Φιλιπποις, επαρρησιασαμεθα εν[10] τω Θεω ἡμων
λαλησαι προς ὑμας το ευαγγελιον του Θεου, εν πολλω αγωνι. 3 Ἡ γαρ παρακλησις ἡμων[11] ουκ εκ
πλανης ουδε εξ ακαθαρσιας, ουτε εν δολω, 4 αλλα καθως δεδοκιμασμεθα ὑπο του Θεου πιστευθηναι
το ευαγγελιον οὑτως λαλουμεν, ουχ ὡς ανθρωποις αρεσκοντες[12] αλλα τω Θεω τω δοκιμαζοντι τας
καρδιας ἡμων. 5 Ουτε γαρ ποτε εν λογω κολακειας εγενηθημεν καθως οιδατε, ουτε εν προφασει
πλεονεξιας[13] (Θεος μαρτυς), 6 ουτε ζητουντες εξ ανθρωπων δοξαν (ουτε αφ' ὑμων ουτε απο
αλλων)—δυναμενοι εν βαρει ειναι ὡς Χριστου αποστολοι, 7 αλλ' εγενηθημεν ηπιοι[14] εν μεσω
ὑμων, ὡς αν τροφος θαλπη τα ἑαυτης τεκνα.

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] θεσσαλονικεων || θεσσαλονικαιων 1075
[3] υπο || 1 του [20%] 1248
[4] και || 1 τη [30%] 1761
[5] εν τη || --- 1725,1768
[6] ημας εχειν || ~ 21 [15%] 1761
[7] υμων || ημων [60%] 1250
[8] απαγγελλουσιν || απαγγελουσιν [15%] 149,201,1250,1876
[9] επεστρεψατε || επιστρεψατε 204c
[10] εν || --- 1503
[11] ημων || υμων 1768
[12] αρεσκοντες || αρεσοντες 2080
[13] πλεονεξιας || 1 ο 1892
[14] ηπιοι || ἡπιοι 394,444,604,824,928,959,1249,1548,1761,1768,1855,1865,1892,2587?

*[Paul's devotion to them]*

8 Οὑτως ἱμειρομενοι[1] ὑμων, ευδοκουμεν μεταδουναι ὑμιν ου μονον το ευαγγελιον του Θεου
αλλα και τας ἑαυτων ψυχας, διοτι[2] αγαπητοι ἡμιν[3] γεγενησθε. 9 Μνημονευετε γαρ, αδελφοι, τον
κοπον ἡμων και τον μοχθον,[4] νυκτος γαρ και ἡμερας εργαζομενοι, προς το μη επιβαρησαι τινα
ὑμων, εκηρυξαμεν εις ὑμας[5] το ευαγγελιον του Θεου.
10 Ὑμεις μαρτυρες, και ὁ Θεος, ὡς ὁσιως και δικαιως και αμεμπτως ὑμιν τοις
πιστευουσιν εγενηθημεν· 11 καθαπερ οιδατε ὡς ἑνα ἑκαστον ὑμων ὡς πατηρ τεκνα ἑαυτου,
παρακαλουντες ὑμας και παραμυθουμενοι, 12 και μαρτυρομενοι[6] εις το περιπατησαι ὑμας αξιως του
Θεου του καλουντος ὑμας[7] εις την ἑαυτου[8] βασιλειαν και δοξαν.

*[Their conversion]*

13 Δια τουτο και ἡμεις ευχαριστουμεν τω Θεω αδιαλειπτως ὁτι παραλαβοντες λογον ακοης
παρ' ἡμων[9] του Θεου, εδεξασθε ου λογον ανθρωπων αλλα, καθως εστιν αληθως, λογον Θεου, ὃς και
ενεργειται εν ὑμιν τοις πιστευουσιν. 14 Ὑμεις γαρ μιμηται εγενηθητε,[10] αδελφοι, των εκκλησιων
του Θεου των ουσων εν τη Ιουδαια εν Χριστω Ιησου, ὁτι τα αυτα επαθετε και ὑμεις ὑπο των
ιδιων συμφυλετων[11] καθως και αυτοι ὑπο των Ιουδαιων 15 (των και τον Κυριον αποκτειναντων
Ιησουν και τους ιδιους προφητας, και ἡμας εκδιωξαντων, και Θεω[12] μη αρεσκοντων και πασιν
ανθρωποις εναντιων, 16 κωλυοντων ἡμας[13] τοις εθνεσιν λαλησαι ἱνα σωθωσιν—εις το
αναπληρωσαι αυτων τας ἁμαρτιας παντοτε. Εφθασεν δε επ' αυτους ἡ οργη εις τελος).

## [Paul's concern for the Thessalonians]

*[A sense of bereavement]*

2.17 Ἡμεις δε, αδελφοι, απορφανισθεντες αφ' ὑμων προς καιρον ὡρας (προσωπω, ου καρδια)
περισσοτερως εσπουδασαμεν το προσωπον ὑμων ιδειν, εν πολλη επιθυμια. 18 (Διο ηθελησαμεν
ελθειν προς ὑμας—εγω μεν, Παυλος, και ἁπαξ και δις—και ενεκοψεν ἡμας ὁ Σατανας.) 19 Τίς γαρ
ἡμων ελπις ἡ χαρα ἡ στεφανος καυχησεως? Ἡ ουχι και ὑμεις,[14] εμπροσθεν του Κυριου ἡμων
Ιησου[15] εν τη αυτου[16] παρουσια? 20 Ὑμεις γαρ εστε ἡ δοξα ἡμων και ἡ[17] χαρα.

*[Concern leads to action]*

3.1 Διο μηκετι στεγοντες, ευδοκησαμεν καταλειφθηναι εν Αθηναις μονοι 2 και επεμψαμεν
Τιμοθεον, τον αδελφον ἡμων και διακονον του Θεου, και συνεργον ἡμων εν τω ευαγγελιω του
Χριστου, εις το στηριξαι ὑμας και παρακαλεσαι ὑμας περι της πιστεως ὑμων, 3 το[18] μηδενα
σαινεσθαι εν ταις θλιψεσιν ταυταις· αυτοι γαρ οιδατε ὁτι εις τουτο κειμεθα. 4 Και γαρ ὁτε
προς[19] ὑμας ημεν προελεγομεν ὑμιν ὁτι μελλομεν θλιβεσθαι· καθως και εγενετο, και οιδατε. 5 Δια
τουτο καγω, μηκετι[20] στεγων, επεμψα εις το γνωναι την πιστιν ὑμων, μη πως επειρασεν ὑμας ὁ
πειραζων και εις κενον γενηται ὁ κοπος ἡμων.
6 Αρτι δε[21] ελθοντος Τιμοθεου προς ἡμας αφ' ὑμων και ευαγγελισαμενου ἡμιν την πιστιν
και την αγαπην ὑμων, και ὁτι εχετε μνειαν ἡμων αγαθην παντοτε, επιποθουντες[22] ἡμας ιδειν,

---

[1] ιμειρομενοι 35[c],2554[c] || ομειρομενοι [30%] 35,386,1100,1732,1761,1768,2466,2554
[2] διοτι || διο 1892
[3] ημιν 1865[c] || υμιν 1865
[4] τον κοπον . . . τον μοχθον || των κοπων . . . των μοχθων [10%] 1075
[5] υμας || --- 959
[6] και μαρτυρομενοι || 1 μαρτυρουμενοι [30%] 959,1876 || --- 1892
[7] υμας || ηυμας 1637[c]
[8] εαυτου || αυτου 1503
[9] ακοης παρ ημων || ~ 231 386
[10] εγενηθητε || εγενηθηται 149,201
[11] συμφυλετων || συμφλετων 149 || συμφυλων 1248 || συμμφυλετων 1892 || συμφιλετων 959
[12] θεω || θεου 1248
[13] ημας || υμας 1892
[14] υμεις || ημεις 1892
[15] ιησου || 1 χριστου [50%] 1248,1249[c]
[16] αυτου || --- 1250
[17] η || --- [10%] 1548
[18] το || τω [10%] 604
[19] εις τουτο κειμεθα και γαρ οτε προς || --- 1248
[20] μηκετι || μη 1761
[21] δε || 1 ως 1892
[22] επιποθουντες || επιθυμουντες 986

καθαπερ και ἡμεις ὑμας 7—δια τουτο παρεκληθημεν, αδελφοι, εφ’ ὑμιν επι παση τη θλιψει και
αναγκη ἡμων δια της ὑμων πιστεως· 8 ὁτι νυν ζωμεν, εαν ὑμεις στηκητε[1] εν Κυριω.

*[Paul’s desire to go to them]*

9 Τίνα[2] γαρ ευχαριστιαν δυναμεθα τω Θεω ανταποδουναι περι ὑμων, επι παση τη χαρα ᾗ
χαιρομεν δι’ ὑμας εμπροσθεν του Θεου ἡμων· 10 νυκτος και ἡμερας ὑπερεκπερισσου δεομενοι, εις
το ιδειν ὑμων το προσωπον και καταρτισαι τα ὑστερηματα της πιστεως ὑμων?

11 Αυτος δε ὁ Θεος και Πατηρ ἡμων και ὁ Κυριος ἡμων Ιησους Χριστος κατευθυναι την
ὁδον ἡμων προς ὑμας. 12 Ὑμας δε ὁ Κυριος πλεονασαι[3] και περισσευσαι τη αγαπη εις αλληλους
και εις παντας, καθαπερ και ἡμεις εις ὑμας, 13 εις το στηριξαι ὑμων τας καρδιας αμεμπτους εν
ἁγιωσυνη εμπροσθεν του Θεου και Πατρος ἡμων εν τη παρουσια του Κυριου ἡμων Ιησου Χριστου
μετα παντων των ἁγιων αυτου.

## [Holiness pleases God]

**4**.1 Το λοιπον ουν, αδελφοι, ερωτωμεν ὑμας και παρακαλουμεν εν Κυριω Ιησου: καθως παρελαβετε
παρ’ ἡμων το πως δει ὑμας περιπατειν και αρεσκειν Θεω, ἱνα περισσευητε μαλλον 2—οιδατε γαρ
τινας παραγγελιας εδωκαμεν ὑμιν δια του Κυριου Ιησου.[4]

*[Sanctified sex]*

3 Τουτο γαρ εστιν θελημα του Θεου, ὁ ἁγιασμος ὑμων: απεχεσθαι ὑμας απο της πορνειας·
4 ειδεναι ἑκαστον ὑμων το ἑαυτου σκευος κτασθαι εν ἁγιασμω και τιμη, 5 μη εν παθει επιθυμιας[5]
(καθαπερ και τα εθνη τα μη ειδοτα τον[6] Θεον)· 6 το μη ὑπερβαινειν και πλεονεκτειν εν τω
πραγματι τον αδελφον αυτου, διοτι εκδικος ὁ Κυριος περι παντων τουτων, καθως και προειπομεν
ὑμιν και διεμαρτυραμεθα. 7 Ου γαρ εκαλεσεν ἡμας ὁ Θεος επι ακαθαρσια, αλλ’ εν ἁγιασμω.
8 Τοιγαρουν, ὁ αθετων ουκ ανθρωπον αθετει αλλα[7] τον Θεον, τον και δοντα το Πνευμα αυτου[8] το
Ἁγιον[9] εις ὑμας.

*[An impressive life style]*

9 Περι δε της φιλαδελφιας ου χρειαν εχετε γραφειν ὑμιν, αυτοι γαρ[10] θεοδιδακτοι εστε εις
το αγαπαν αλληλους, 10 και γαρ[11] ποιειτε[12] αυτο εις παντας τους αδελφους τους εν ὁλη τη
Μακεδονια. Παρακαλουμεν δε ὑμας, αδελφοι, περισσευειν μαλλον, 11 και φιλοτιμεισθαι ἡσυχαζειν
και πρασσειν τα ιδια, και εργαζεσθαι ταις ιδιαις[13] χερσιν ὑμων (καθως ὑμιν παρηγγειλαμεν),[14]
12 ἱνα περιπατητε[15] ευσχημονως προς τους εξω, και μηδενος χρειαν εχητε.[16]

## [Christ’s second coming]

*[The Rapture]*

**4**.13 Ου θελομεν δε ὑμας[17] αγνοειν, αδελφοι,[18] περι των κεκοιμημενων, ἱνα μη λυπησθε[19] καθως
και οἱ λοιποι, οἱ μη εχοντες ελπιδα. 14 Ει γαρ πιστευομεν ὁτι Ιησους απεθανεν και ανεστη,
οὑτως και ὁ Θεος τους κοιμηθεντας δια του Ιησου αξει συν αυτω. 15 Τουτο γαρ ὑμιν λεγομεν εν
λογω Κυριου, ὁτι ἡμεις[20] οἱ ζωντες, οἱ περιλειπομενοι εις την παρουσιαν του Κυριου, ου μη
φθασωμεν τους κοιμηθεντας· 16 ὁτι αυτος ὁ Κυριος—εν κελευσματι, εν φωνη αρχαγγελου και εν
σαλπιγγι Θεου—καταβησεται απ’ ουρανου, και οἱ νεκροι εν Χριστω[21] αναστησονται πρωτον·

---

[1] στηκητε || στηκετε [60%] 959,1249,1250,1876
[2] τινα || τι 959
[3] ο κυριος πλεονασαι || ~ 312 2466
[4] ιησου || 1 χριστου 2080
[5] επιθυμιας || ατιμιας [5%] 149,201
[6] τον || --- 959
[7] αλλα || αλα 149
[8] το πνευμα αυτου || ~ 321 386,959
[9] αυτου το αγιον || ~ 231 2080
[10] γαρ || 1 υμεις [70%] 2080
[11] γαρ || --- 1892
[12] ποιειτε || ποιειται 1548
[13] ιδιαις 1897[c] || --- [7%] 1897
[14] υμιν παρηγγειλαμεν || ~ 21 2587
[15] περιπατητε || περιπατειτε [10%] 2466
[16] εχητε || εχετε 1250,2466
[17] υμας || --- 1892
[18] αγνοειν αδελφοι || ~ 21 1732
[19] λυπησθε || λυπεισθε 1892
[20] ημεις || οιμεις 394
[21] εν χριστω || --- 1250,1876

17 επειτα ἡμεις οἱ ζωντες, οἱ περιλειπομενοι, ἁμα συν αυτοις[1] ἁρπαγησομεθα εν νεφελαις εις
απαντησιν του Κυριου εις αερα. Και οὑτως παντοτε συν Κυριω εσομεθα. 18 Ὡστε παρακαλειτε
αλληλους εν τοις λογοις τουτοις.

*[The Day of the Lord]*

5.1 Περι δε των χρονων και των[2] καιρων, αδελφοι, ου χρειαν εχετε ὑμιν γραφεσθαι·
2 αυτοι γαρ ακριβως οιδατε ὁτι ἡ ἡμερα Κυριου ὡς κλεπτης εν νυκτι οὑτως ερχεται. 3 Ὁταν γαρ[3]
λεγωσιν, "Ειρηνη και ασφαλεια!" τοτε αιφνιδιος αυτοις εφισταται[4] ολεθρος, ὡσπερ ἡ ωδιν τη εν[5]
γαστρι εχουση, και ου μη εκφυγωσιν.

*[Live as sons of light]*

4 Ὑμεις δε, αδελφοι, ουκ εστε εν σκοτει ἱνα ἡ ἡμερα ὑμας ὡς κλεπτης καταλαβη. 5 Παντες
ὑμεις υἱοι φωτος εστε και υἱοι ἡμερας· ουκ εσμεν νυκτος, ουδε σκοτους. 6 Αρα ουν, μη
καθευδωμεν, ὡς και οἱ λοιποι, αλλα γρηγορωμεν και νηφωμεν· 7 οἱ γαρ καθευδοντες νυκτος
καθευδουσιν, και οἱ μεθυσκομενοι νυκτος μεθυουσιν· 8 ἡμεις[6] δε ἡμερας οντες[7] νηφωμεν,
ενδυσαμενοι θωρακα πιστεως και αγαπης, και περικεφαλαιαν ελπιδα σωτηριας. 9 Ὁτι ουκ εθετο
ἡμας ὁ Θεος εις οργην αλλ' εις περιποιησιν σωτηριας δια του Κυριου ἡμων Ιησου Χριστου,
10 του αποθανοντος ὑπερ ἡμων ἱνα ειτε γρηγορουμεν[8] ειτε καθευδομεν ἁμα συν αυτω ζησωμεν.[9]
11 Διο παρακαλειτε αλληλους και οικοδομειτε εἱς τον ἑνα, καθως και[10] ποιειτε.

## [Concluding instructions]

*[Esteem spiritual leaders]*

5.12 Ερωτωμεν δε ὑμας, αδελφοι, ειδεναι τους κοπιωντας εν ὑμιν και προισταμενους ὑμων εν
Κυριω και νουθετουντας ὑμας, 13 και ἡγεισθαι[11] αυτους ὑπερεκπερισσου εν αγαπη δια το εργον
αυτων. Ειρηνευετε εν ἑαυτοις.

*[A variety of instructions]*

14 Παρακαλουμεν δε ὑμας, αδελφοι: νουθετειτε τους ατακτους, παραμυθεισθε τους
ολιγοψυχους, αντεχεσθε των ασθενων, μακροθυμειτε προς παντας. 15 Ὁρατε μη τις κακον αντι
κακου τινι αποδω, αλλα παντοτε το αγαθον διωκετε, και εις αλληλους και εις παντας. 16 Παντοτε
χαιρετε! 17 Αδιαλειπτως προσευχεσθε! 18 Εν παντι ευχαριστειτε, τουτο γαρ θελημα Θεου εν
Χριστω Ιησου εις ὑμας.[12] 19 Το Πνευμα μη σβεννυτε![13] 20 Προφητειας μη εξουθενειτε, 21 παντα
δε[14] δοκιμαζετε·[15] το καλον[16] κατεχετε. 22 Απο παντος ειδους πονηρου απεχεσθε!

*[Complete sanctification]*

23 Αυτος δε ὁ Θεος της ειρηνης ἁγιασαι ὑμας[17] ὁλοτελεις, και ὁλοκληρον ὑμων το πνευμα
και ἡ ψυχη και το σωμα αμεμπτως[18] εν τη παρουσια του Κυριου ἡμων Ιησου Χριστου[19] τηρηθειη.
24 Πιστος ὁ καλων ὑμας,[20] ὃς και ποιησει.[21]

*[Farewell]*

25 Αδελφοι, προσευχεσθε περι ἡμων. 26 Ασπασασθε τους αδελφους παντας εν φιληματι
ἁγιω. 27 Ὁρκιζω[22] ὑμας τον Κυριον αναγνωσθηναι την επιστολην πασιν τοις ἁγιοις αδελφοις.
28 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μεθ' ὑμων. Αμην.

---

[1] αυτοις || αυτω 444
[2] των || --- 1100
[3] γαρ || --- [2%] 328,1637
[4] εφισταται || εφιστατε 959
[5] τη εν || ~ 21 1248,1897
[6] ημεις || υμεις 2080
[7] οντες || 1 υιοι [12%] 1250,1876,2080
[8] γρηγορουμεν || γρηγορωμεν [45%] 1548
[9] ζησωμεν || ζησομεν [3%] 204,1075
[10] και || --- 757
[11] ἡγεισθαι || ἠγεισθαι 1548 || ηγεισθε [35%] 1248
[12] υμας || ημας 328
[13] σβεννυτε || σβεννητε 149,201,1725
[14] δε 35c || --- 35,1768
[15] δοκιμαζετε || δοκιμαζοντες [40%] 604,1761,1768,2080
[16] καλον || 1 1 1072 (repeats)
[17] υμας || ημας 1248
[18] αμεμπτως || αμεπτως 149
[19] χριστου || --- 1732
[20] υμας || ημας 959
[21] ποιησει || 1 την ελπιδα υμων βεβαιαν [15%] 2080
[22] ὁρκιζω || ὀρκιζω [10%] 149,201,757